## 175. THE BETRAYAL AND ARREST (Matt-Mk Identical)

| Matt 26. 47-56 | Mark 14:43-52 |
|---|---|
| Καὶ | Καὶ εὐθὺς |
| ἔτι αὐτοῦ λαλοῦντος | ἔτι αὐτοῦ λαλοῦντος |
| ἰδοὺ | |
| Ἰούδας | παραγίνεται Ἰούδας |
| εἷς τῶν δώδεκα ἦλθεν | εἷς τῶν δώδεκα |
| καὶ μετ αὐτοῦ ὄχλος πολὺς | καὶ μετ αὐτοῦ ὄχλος |
| μετὰ μαχαιρῶν καὶ ξύλων | μετὰ μαχαιρῶν καὶ ξύλων |
| ἀπὸ τῶν ἀρχιερέων | παρὰ τῶν ἀρχιερέων |
| | καὶ τῶν γραμματέων |
| καὶ πρεσβυτέρων τοῦ λαοῦ. | καὶ τῶν πρεσβυτέρων. |
| 48 ὁ δὲ παραδιδοὺς αὐτὸν | 44 δεδώκει δὲ ὁ παραδιδοὺς |
| ἔδωκεν αὐτοῖς σημεῖον λέγων, | αὐτὸν σύσσημον αὐτοῖς λέγων, |
| Ὃν ἂν φιλήσω αὐτός ἐστιν· | Ὃν ἂν φιλήσω αὐτός ἐστιν· |
| κρατήσατε αὐτόν. | κρατήσατε αὐτὸν |
| | καὶ ἀπάγετε ἀσφαλῶς. |
| 49 καὶ εὐθέως προσελθὼν | 45 καὶ ἐλθὼν εὐθὺς προσελθὼν |
| τῷ Ἰησοῦ | αὐτῷ |
| εἶπεν, Χαῖρε, ῥαββί· | λέγει, Ῥαββί, |
| καὶ κατεφίλησεν αὐτόν. | καὶ κατεφίλησεν αὐτόν. |
| 50 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, | |
| Ἑταῖρε, ἐφ ὃ πάρει. | |
| | |
| τότε προσελθόντες ἐπέβαλον | 46 οἱ δὲ ἐπέβαλον |
| τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν | τὰς χεῖρας αὐτῷ |
| καὶ ἐκράτησαν αὐτόν. | καὶ ἐκράτησαν αὐτόν. |
| | |
| 51 καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ | 47 εἷς δέ τις τῶν παρεστηκότων |
| ἐκτείνας τὴν χεῖρα | |
| ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ | σπασάμενος τὴν μάχαιραν |
| καὶ πατάξας | ἔπαισεν |
| τὸν δοῦλον τοῦ ἀρχιερέως | τὸν δοῦλον τοῦ ἀρχιερέως |
| ἀφεῖλεν | καὶ ἀφεῖλεν |
| αὐτοῦ τὸ ὠτίον. | αὐτοῦ τὸ ὠτάριον. |
| 52 τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, | |

᾽Απόστρεψον τὴν μάχαιράν σου εἰς
τὸν τόπον αὐτῆς, πάντες γὰρ οἱ
λαβόντες μάχαιραν ἐν μαχαίρῃ
ἀπολοῦνται. 53 ἢ δοκεῖς ὅτι οὐ
δύναμαι παρακαλέσαι τὸν πατέρα
μου, καὶ παραστήσει μοι ἄρτι
πλείω δώδεκα λεγιῶνας ἀγγέλων
54 πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ
ὅτι οὕτως δεῖ γενέσθαι

| | |
|---|---|
| 55 ᾽Εν ἐκείνῃ τῇ ὥρᾳ | 48 καὶ ἀποκριθεὶς |
| εἶπεν ὁ ᾽Ιησοῦς | ὁ ᾽Ιησοῦς εἶπεν |
| τοῖς ὄχλοις, | αὐτοῖς, |
| ῾Ως ἐπὶ λῃστὴν ἐξήλθατε | ῾Ως ἐπὶ λῃστὴν ἐξήλθατε |
| μετὰ μαχαιρῶν καὶ ξύλων | μετὰ μαχαιρῶν καὶ ξύλων |
| συλλαβεῖν με | συλλαβεῖν με |
| καθ ἡμέραν | 49 καθ ἡμέραν |
| | ἤμην πρὸς ὑμᾶς |
| ἐν τῷ ἱερῷ ἐκαθεζόμην | ἐν τῷ ἱερῷ |
| διδάσκων | διδάσκων |
| καὶ οὐκ ἐκρατήσατέ με. | καὶ οὐκ ἐκρατήσατέ με· |
| 56 τοῦτο δὲ ὅλον γέγονεν | |
| ἵνα πληρωθῶσιν | ἀλλ ἵνα πληρωθῶσιν |
| αἱ γραφαὶ τῶν προφητῶν. | αἱ γραφαί. |
| Τότε οἱ μαθηταὶ | 50 καὶ |
| πάντες ἀφέντες αὐτὸν ἔφυγον. | ἀφέντες αὐτὸν ἔφυγον πάντες. |
| | 51 Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν· 52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν. |

172 matches out of 327 words =20%